# 0295-0373 - Athanasius Alexandrinus - Magnus - Refutatio hypocriseos Meletii et Eusebii

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2035 066 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Refutatio hypocriseos Meletii et Eusebii

[00001] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ

[00002] Ἔλεγχος τῆς ὑποκρίσεως τῶν περὶ Μελέτιον, καὶ Εὐσέβιον τὸν Σαμοσατέα κατὰ τοῦ Ὁμοουσίου.

[00003] Ἄνθρωπος καθ' ὁμοίωσιν Θεοῦ γέγονε, καὶ ἔστιν οὐ Θεὸς ὁ ἄνθρωπος·

[00004] τὸ γὰρ ὅμοιόν τινι οὐκ ἔστιν αὐτὸ ἐκεῖνο, ᾧ ὁμοιοῦται.

[00005] Ὡς καὶ τὸ, ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνη καὶ σπέρματι, καὶ οὐδὲν τούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν·

[00006] καὶ, ὅμοιος ἀνθρώπῳ οἰκοδεσπότῃ ὁ μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀλλ' οὐκ οἰκοδεσπότης οὗτος·

[00007] καὶ ἕτερα τοιαῦτα πολλά.

[00008] Ὅμοια δὲ καὶ ἐν τοῖς σώμασι, λύκος κυνὶ, ἀλλ' οὐ κύων ἐστί·

[00009] καὶ κασσίτερος ἀργύρῳ, ἀλλ' οὐκ ἄργυρος·

[00010] χαλκὸς χρυσῷ, ἀλλ' οὐ χρυσός·

[00011] καὶ κόκκινον αἵματι, ἀλλ' οὐχ αἷμα·

[00012] καὶ γύψος χιόνι, ἀλλ' οὐ χιών·

[00013] καὶ ἄλλα διάφορα τοιαῦτα θεωρεῖται.

[00014] Θεῷ οὖν οὐχ ὅμοιος ὁ Υἱὸς, Θεὸς ὢν, ἀλλ' ἓν καὶ τοῦτο·

[00015] ὡς γέγραπται·

[00016] «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν.».

[00017] Καὶ θεότητα ἡρμήνευσε τὴν ἑνότητα·

[00018] θεότητα δὲ οὐχ οἵαν τῶν θεοποιηθέντων·

[00019] ἅτε δὴ ἀντιτιθεὶς αὐτὴν πρὸς ἐκείνην, ὡς ἔχει τὸ λόγιον τοῦ Κυρίου·

[00020] Θεὸς γάρ ἐστιν, οὐχ ὡς ἄνθρωπος ὁ καθ' ὁμοίωσιν Θεοῦ γενόμενος·

[00021] καὶ Θεὸς ὀνομαζόμενος τῇ ὁμοιώσει, οὐ τῇ φύσει·

[00022] ὁμοιωμένην ἔχων Θεῷ τὴν οὐσίαν·

[00023] καὶ δὴ καὶ προκόπτων ἐν τῇ ὁμοιότητι·

[00024] καθ' ἣν ἤδη φύσιν, «Τέκνα Θεοῦ ἐσμεν,» καὶ «Ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα.».

[00025] Ὅπου δὲ ἡ οὐσία ἡ αὐτὴ, οὐ προκόπτει οὐσία εἰς τὸ μᾶλλον καὶ ἧττον, ἀλλὰ ἄνθρωπος μὲν [28.88] οὕτως, ὁ δὲ Κύριος ὁ αὐτὸς ἀεί·

[00026] καὶ οὐ ποτὲ μὲν ἥττων, ποτὲ δὲ μείζων, ὡς Θεός·

[00027] «Ἰησοῦς, φησὶν, χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.».

[00028] Ὁ τοίνυν ἀναιρῶν, τὸ εἶναι τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρὶ, λέγων δὲ ὅμοιον, ἀναιρεῖ τὸ εἶναι Θεόν.

[00029] Ὡσαύτως δὲ καὶ ὁ ἐξηγούμενος τὸ ὁμοούσιον, ὡς ὅμοιον τῇ οὐσίᾳ, ἑτέραν τὴν οὐσίαν λέγει, Θεῷ δὲ ὁμοιωμένην.

[00030] Οὐ τοίνυν οὐδὲ τὸ ἐκ τῆς οὐσίας εἶναι πρεπόντως λέγει, μὴ φρονῶν ὁμοούσιον, ὡς ἄνθρωπος ἐκ τῆς ἀνθρώπου οὐσίας.

[00031] Εἰ δὲ μὴ, ὡς ἄνθρωπος ἐξ ἀνθρώπου κατ' οὐσίαν, ἐκ Θεοῦ ὁ Υἱὸς, ἀλλ' ὡς ἐν ὁμοιώματι, καθάπερ ἀνδριὰς ἀνθρώπῳ, ἢ ὡς ἄνθρωπος Θεῷ·

[00032] δῆλός ἐστιν ὁ τοιοῦτος ὁμοούσιον μὲν λέγων, ὁμοούσιον δὲ οὐ φρονῶν·

[00033] οὐ γὰρ κατὰ τὴν συνήθειαν βούλεται τὸ ὁμοούσιον ἀκούεσθαι, ὅπερ ἐστὶν, ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς οὐσίας, ἀλλὰ παρὰ τὴν συνήθειαν·

[00034] καὶ ἵνα διαβάλλῃ ταύτην, Ἑλληνικὴν ῥῆσιν εἰρηκέναι, τὸ ὁμοούσιον ῥῆμα τοῦ ἐν Ἕλλησιν ἔθους ἐπ' οὐδενὶ ἑτέρῳ κείμενον, ἢ ἐπὶ τῷ τὴν αὐτὴν φύσιν παραστῆσαι·

[00035] ὅπερ δεῖ πιστεῦσαι ἐπὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος.

[00036] Ἅμα τε οὖν τὸ ὁμοούσιον οὗτος ἐκτρέπει, καὶ τὸ τῆς οὐσίας νόθως ὀνομάζει·

[00037] ὡς ἔργον νοῶν, οὐχ ὡς γέννημα, καὶ διὰ τοῦτο καὶ τὸ ἀπαθῶς προστίθησι πιθανῶς·

[00038] οὐχ ἵνα πάθους ἀφέλῃ διαβολήν·

[00039] τίς γὰρ καὶ λέγει Θεοῦ πάθος;

[00040] ἀλλ' ἵνα ποιητὸν ἐκ Θεοῦ λέγῃ, καὶ μὴ γεννητὸν ἐκ Θεοῦ προεληλυθότα·

[00041] ὡς τῆς τοιαύτης προόδου παθητικῆς οὔσης·

[00042] καθὰ δὲ λέγειν εἰώθασιν οἱ τὴν μὲν ἐκ τῆς οὐσίας πρόοδον ὡς πάθος ἐκβάλλοντες, ἣν δὲ λέγουσιν ἐκ τῆς οὐσίας ποίησιν ὡς ἀπαθῆ συνιστῶντες.

[00043] Ὥσπερ εἰ καὶ τῆς ποιήσεως, εἰ ἀνθρωπίνως λαμβάνοιτο, κίνησιν ἐχούσης, καὶ τὸν ἐκ τῆς κινήσεως κάματον·

[00044] ἅπερ ἀλλότρια δημιουργοῦντος Θεοῦ·

[00045] ὅμως γοῦν, ὡς γέννησιν ἀπαθῆ διὰ τοιαύτης ἐξηγήσεως τὴν τοῦ Υἱοῦ νοοῦντες πρόοδον, τὸ Πνεῦμα ἀλλοτριοῦσι Πατρὸς καὶ Υἱοῦ·

[00046] ὅτι μὴ γεννήσει ἡ τούτου πρόοδος, ἀλλὰ πνεύσει ὁμοιοῦται διὰ τὴν μετάληψιν, ὡς πνοῆς ἐκ στόματος ἐρχομένης καὶ τὸν μεταλαμβάνοντα ἁγιαζούσης, καθὰ δὴ λέγεται πνεύματος.

[00047] Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα δοξάζεσθαι, μὴ προοδικῶς ὂν ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς λέγουσιν.

[00048] Οὐ γὰρ συνδοξάζεται ποίημα ποιητῇ, οὐδὲ δοῦλος δεσπότῃ·

[00049] οὐδὲ ἡ τῆς ἀλλοτρίας Θεοῦ οὐσίας μέθεξις ἂν εἴη Θεοῦ·

[00050] «Ἐν τούτῳ γὰρ,» φησὶν ὁ Ἰωάννης, «γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος, οὗ ἔδωκεν ἡμῖν.».

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0295-0373 - Athanasius Alexandrinus - Magnus - Refutatio hypocriseos Meletii et Eusebii**
**Litterarum Omnium Conspectus: 113 Litterae, quae repetitae sunt in 2,798 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 170 | Α | 0913 | 5 |
| β | 0946 | 10 | Β | 0914 | 0 |
| γ | 0947 | 42 | Γ | 0915 | 1 |
| δ | 0948 | 48 | Δ | 0916 | 0 |
| ε | 0949 | 122 | Ε | 0917 | 3 |
| ζ | 0950 | 6 | Ζ | 0918 | 0 |
| η | 0951 | 42 | Η | 0919 | 1 |
| θ | 0952 | 47 | Θ | 0920 | 23 |

| | | | | | |
|---|---|---|---|---|---|
| ι | 0953 | 131 | Ι | 0921 | 3 |
| κ | 0954 | 90 | Κ | 0922 | 3 |
| λ | 0955 | 74 | Λ | 0923 | 0 |
| μ | 0956 | 80 | Μ | 0924 | 2 |
| ν | 0957 | 229 | Ν | 0925 | 3 |
| ξ | 0958 | 7 | Ξ | 0926 | 0 |
| ο | 0959 | 251 | Ο | 0927 | 6 |
| π | 0960 | 68 | Π | 0928 | 9 |
| ρ | 0961 | 78 | Ρ | 0929 | 1 |
| ς | 0962 | 128 | • | 0930 | 0 |
| σ | 0963 | 96 | Σ | 0931 | 4 |
| τ | 0964 | 187 | Τ | 0932 | 4 |
| υ | 0965 | 28 | ϒ | 0933 | 9 |
| φ | 0966 | 10 | Φ | 0934 | 0 |
| χ | 0967 | 17 | Χ | 0935 | 0 |
| ψ | 0968 | 2 | Ψ | 0936 | 0 |
| ω | 0969 | 35 | Ω | 0937 | 1 |
| ῤ | 8164 | 0 | | | 0 |
| ῥ | 8165 | 2 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 18 | έ | 8051 | 29 | ή | 8053 | 10 | ί | 8055 | 38 | ό | 8057 | 30 | ύ | 8059 | 33 | ώ | 8061 | 10 |
| ὰ | 8048 | 19 | ὲ | 8050 | 24 | ὴ | 80852 | 22 | ὶ | 8054 | 51 | ὸ | 8056 | 36 | ὺ | 8058 | 1 | ὼ | 8060 | 1 |
| ᾶ | 8118 | 2 | | | 0 | ῆ | 8134 | 21 | ῖ | 8150 | 7 | | | 0 | ῦ | 8166 | 37 | ῶ | 8182 | 18 |
| ἀ | 7936 | 33 | ἐ | 7952 | 41 | ἠ | 7968 | 0 | ἰ | 7984 | 10 | ὀ | 8000 | 2 | ὐ | 8016 | 50 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 2 | ἑ | 7953 | 3 | ἡ | 7969 | 9 | ἱ | 7985 | 8 | ὁ | 8001 | 30 | ὑ | 8017 | 1 | ὡ | 8033 | 17 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 1 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 1 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 8 | ἔ | 7956 | 7 | ἤ | 7972 | 1 | ἴ | 7988 | 1 | ὄ | 8004 | 0 | ὔ | 8020 | 1 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 2 | ἥ | 7973 | 1 | ἵ | 7989 | 5 | ὅ | 8005 | 11 | ὕ | 8021 | 1 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 0 | ἶ | 7990 | 3 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 3 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 2 | | | 0 | ῃ | 8131 | 7 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 5 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 0 | | | 0 | ῇ | 8135 | 8 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 8 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0295-0373 - Athanasius Alexandrinus - Magnus - Refutatio hypocriseos Meletii et Eusebii**
**Verborum Omnium Conspectus: 308Verba, quae repetita sunt in 4,093,460 occasionibus**

---

**ἁγιαζούσης** [00046]
**ΑΓΙΟΙΣ** [00001]
**ἁγίου** [00035]
**ἀδύνατον** [00047]
**ἀεί** [00025]
**ΑΘΑΝΑΣΙΟΥ** [00001]
**αἷμα** [00011]
**αἵματι** [00011]
**αἰῶνας** [00027]
**ἀκούεσθαι** [00033]
**ἀλλ** [00006] [00008] [00009] [00010] [00011] [00012] [00014] [00031] [00040]
**ἀλλὰ** [00025] [00033] [00046] [00047]
**ἄλλα** [00013]
**ἀλλότρια** [00044]
**ἀλλοτρίας** [00049]
**ἀλλοτριοῦσι** [00045]
**Ἅμα** [00036]
**ἂν** [00049]
**ἀναιρεῖ** [00028]
**ἀναιρῶν** [00028]
**ἀνδριὰς** [00031]
**ἀνθρωπίνως** [00043]
**ἄνθρωπος** [00003] [00020] [00025] [00030] [00031] [00031]
**Ἄνθρωπος** [00003]
**ἀνθρώπου** [00030] [00031]
**ἀνθρώπῳ** [00006] [00031]
**ἀντιτιθεὶς** [00019]
**ἀπαθῆ** [00042] [00045]
**ἀπαθῶς** [00037]
**ἅπερ** [00044]
**ἄργυρος** [00009]
**ἀργύρῳ** [00009]
**ἅτε** [00019]
**αὐτὴ** [00025]
**αὐτὴν** [00019] [00034]
**αὐτῆς** [00033]
**αὐτὸ** [00004]
**αὐτὸς** [00025] [00027]
**αὐτῷ** [00024]
**ἀφέλῃ** [00038]

**βασιλείᾳ** [00006]
**βασιλεία** [00005] [00005]
**βούλεται** [00033]

**γὰρ** [00004] [00033] [00039] [00048] [00050]
**γάρ** [00020]
**γέγονε** [00003]
**γεγονὸς** [00047]
**γέγραπται** [00015]
**γέννημα** [00037]
**γεννήσει** [00046]
**γέννησιν** [00045]
**γεννητὸν** [00040]
**γενόμενος** [00020]

**γινώσκομεν** [00050]
**γοῦν** [00045]
**γύψος** [00012]

**δὲ** [00008] [00018] [00025] [00025] [00026] [00028] [00029] [00029] [00031] [00032] [00042] [00042] [00047]
**δεῖ** [00035]
**δεσπότῃ** [00048]
**δὴ** [00019] [00023] [00046]
**δῆλός** [00032]
**δημιουργοῦντος** [00044]
**δι** [00047]
**διὰ** [00037] [00045] [00046]
**διαβάλλῃ** [00034]
**διαβολήν** [00038]
**διάφορα** [00013]
**δοξάζεσθαι** [00047]
**δόξῃ** [00047]
**δοῦλος** [00048]

**Ἐὰν** [00024]
**Ἐγὼ** [00016]
**ἔδωκεν** [00050]
**ἔθους** [00034]
**Εἰ** [00031]
**εἰ** [00043] [00043]
**εἴη** [00049]
**εἶναι** [00028] [00028] [00030]
**εἰρηκέναι** [00034]
**εἰς** [00025] [00027]
**εἰώθασιν** [00042]
**ἐκ** [00030] [00030] [00031] [00040] [00040] [00042] [00042] [00043] [00046] [00047] [00047] [00050]
**ἐκβάλλοντες** [00042]
**ἐκείνην** [00019]
**ἐκεῖνο** [00004]
**ἐκτρέπει** [00036]
**Ἔλεγχος** [00002]
**Ἑλληνικὴν** [00034]
**Ἕλλησιν** [00034]
**ἐν** [00008] [00023] [00031] [00034] [00047] [00050]
**ἓν** [00014]
**ἕν** [00016]
**Ἐν** [00050]
**ΕΝ** [00001]
**ἑνότητα** [00017]
**ἐξ** [00031]
**ἐξηγήσεως** [00045]
**ἐξηγούμενος** [00029]
**ἐπ** [00034]
**ἐπὶ** [00033] [00034] [00035]
**ἔργον** [00037]
**ἐρχομένης** [00046]
**ἐσμεν** [00016] [00024]
**ἐσόμεθα** [00024]
**ἐστί** [00008]
**ἐστὶν** [00005] [00005] [00033]
**ἐστιν** [00020] [00032] [00050]
**ἔστιν** [00003] [00004]
**ἕτερα** [00007]
**ἑτέραν** [00029]
**ἑτέρῳ** [00034]
**Εὐσέβιον** [00002]
**ἔχει** [00019]
**ἐχούσης** [00043]
**ἔχων** [00022]

**ἡ** [00005] [00005] [00025] [00025] [00046] [00049]
**ἢ** [00031] [00034]
**ἤδη** [00024]
**ἡμῖν** [00050] [00050]
**ΗΜΩΝ** [00001]
**ἣν** [00042]
**ἧν** [00024]
**Ἢν** [00047]
**ἡρμήνευσε** [00017]
**ἧττον** [00025]
**ἥττων** [00026]

**Θεόν** [00028]
**θεοποιηθέντων** [00018]
**Θεὸς** [00003] [00014] [00020] [00021]
**Θεός** [00026]
**θεότητα** [00017] [00018]
**Θεοῦ** [00003] [00020] [00024] [00031] [00039] [00040] [00040] [00044] [00047] [00047] [00049] [00049]
**Θεῷ** [00014] [00022] [00029] [00031]
**θεωρεῖται** [00013]

**Ἰησοῦς** [00027]
**ἵνα** [00034] [00038] [00040]
**Ἰωάννης** [00050]

**καθ** [00003] [00020] [00024]
**καθὰ** [00042] [00046]
**καθάπερ** [00031]
**κάματον** [00043]
**κασσίτερος** [00009]
**κατ** [00031]
**κείμενον** [00034]
**κινήσεως** [00043]
**κίνησιν** [00043]
**κόκκινον** [00011]
**κυνὶ** [00008]
**Κύριος** [00025]
**Κυρίου** [00019]
**κύων** [00008]

**λαμβάνοιτο** [00043]
**λέγει** [00029] [00030] [00039]
**λέγειν** [00042]
**λέγεται** [00046]
**λέγῃ** [00040]
**λέγουσιν** [00042] [00047]
**λέγων** [00028] [00032]
**λόγιον** [00019]
**λύκος** [00008]

**μαθητευθεὶς** [00006]
**μᾶλλον** [00025]
**μέθεξις** [00049]
**μείζων** [00026]
**Μελέτιον** [00002]
**μὲν** [00025] [00026] [00032] [00042]
**μεταλαμβάνοντα** [00046]
**μετάληψιν** [00046]
**μιᾶς** [00033]

**νόθως** [00036]
**νοοῦντες** [00045]
**νοῶν** [00037]

**ὁ** [00003] [00006] [00014] [00016] [00020] [00025] [00025] [00027] [00029] [00031] [00032] [00050]
**Ὁ** [00028]
**οἱ** [00042]
**οἵαν** [00018]
**οἰκοδεσπότῃ** [00006]
**οἰκοδεσπότης** [00006]
**ὁμοία** [00005]
**Ὅμοια** [00008]
**ὅμοιοι** [00024]
**ὅμοιόν** [00004]
**ὅμοιον** [00028] [00029]
**ὅμοιος** [00006] [00014]
**ὁμοιότητι** [00023]
**ὁμοιοῦται** [00004] [00046]
**ὁμοιώματι** [00031]
**ὁμοιωμένην** [00022] [00029]
**ὁμοιώσει** [00021]
**ὁμοίωσιν** [00003] [00020]
**ὁμοούσιον** [00028] [00029] [00030] [00032] [00032] [00033] [00034] [00036]
**Ὁμοουσίου** [00002]
**ὅμως** [00045]
**ὂν** [00047]
**ὀνομάζει** [00036]
**ὀνομαζόμενος** [00021]
**ὅπερ** [00033] [00035]
**Ὅπου** [00025]
**ὅτι** [00046] [00050]
**Οὐ** [00030] [00048]
**οὐ** [00003] [00008] [00010] [00012] [00021] [00025] [00026] [00032] [00033]
**οὔ** [00050]
**οὐδὲ** [00030] [00048] [00049]
**οὐδὲν** [00005]
**οὐδενὶ** [00034]
**οὐκ** [00004] [00006] [00009]
**οὖν** [00014] [00036]
**οὐρανῶν** [00005] [00005] [00006]
**οὔσης** [00041]
**οὐσίᾳ** [00029]
**οὐσία** [00025] [00025]
**οὐσίαν** [00022] [00029] [00031]
**οὐσίας** [00030] [00030] [00033] [00036] [00042] [00042] [00049]
**οὗτος** [00006] [00036]
**οὕτως** [00025]
**οὐχ** [00011] [00014] [00018] [00020] [00037] [00038]

**παθητικῆς** [00041]
**πάθος** [00039] [00042]
**πάθους** [00038]
**παρὰ** [00033]
**παραστῆσαι** [00034]
**Πατὴρ** [00016]
**Πατρὶ** [00028]
**Πατρὸς** [00035] [00045]
**ΠΑΤΡΟΣ** [00001]
**περὶ** [00002]
**πιθανῶς** [00037]
**πιστεῦσαι** [00035]
**Πνεῦμα** [00045] [00047]
**Πνεύματος** [00035] [00050]
**πνεύματος** [00046]
**πνεύσει** [00046]
**πνοῆς** [00046]
**ποίημα** [00048]
**ποιήσεως** [00043]
**ποίησιν** [00042]
**ποιητῇ** [00048]
**ποιητικῶς** [00047]
**ποιητὸν** [00040]
**πολλά** [00007]
**ποτὲ** [00026] [00026]
**πρεπόντως** [00030]
**προεληλυθότα** [00040]
**προκόπτει** [00025]
**προκόπτων** [00023]
**προοδικῶς** [00047]
**πρόοδον** [00042] [00045]
**πρόοδος** [00046]
**προόδου** [00041]
**πρὸς** [00019]
**προστίθησι** [00037]

**ῥῆμα** [00034]
**ῥῆσιν** [00034]

**σαγήνῃ** [00005]
**Σαμοσατέα** [00002]
**σήμερον** [00027]
**σπέρματι** [00005]
**στόματος** [00046]
**συνδοξάζεται** [00048]
**συνήθειαν** [00033] [00033]
**συνιστῶντες** [00042]
**σώμασι** [00008]

**ταύτην** [00034]
**τε** [00036]
**Τέκνα** [00024]
**τῇ** [00006] [00021] [00021] [00023] [00029] [00047]
**τὴν** [00017] [00022] [00029] [00033] [00033] [00034] [00042] [00045] [00046]
**τῆς** [00002] [00030] [00030] [00033] [00036] [00041] [00042] [00042] [00043] [00043] [00047] [00049]
**τινι** [00004]
**τίς** [00039]
**τὸ** [00004] [00005] [00019] [00025] [00028] [00028] [00029] [00030] [00033] [00034] [00036] [00036] [00037] [00045] [00047]
**τοιαῦτα** [00007] [00013]
**τοιαύτης** [00041] [00045]
**τοίνυν** [00028] [00030]
**τοιοῦτος** [00032]
**τοῖς** [00008]
**τὸν** [00002] [00028] [00043] [00046]
**ΤΟΥ** [00001]
**τοῦ** [00002] [00019] [00034] [00045] [00050]
**τοὺς** [00027]
**τοῦτο** [00014] [00037]
**τούτου** [00046]
**τούτῳ** [00050]
**τούτων** [00005]
**Τριάδος** [00047]
**τῷ** [00028] [00034]
**τῶν** [00002] [00005] [00005] [00006] [00018]

**Υἱὸν** [00028]
**Υἱὸς** [00014] [00031]
**Υἱοῦ** [00035] [00045] [00045] [00047]
**ὑποκρίσεως** [00002]

**φανερωθῇ** [00024]
**φησὶν** [00027] [00050]
**φρονῶν** [00030] [00032]
**φύσει** [00021]
**φύσιν** [00024] [00034]

**χαλκὸς** [00010]
**χθὲς** [00027]
**χιόνι** [00012]
**χιών** [00012]
**χρυσός** [00010]
**χρυσῷ** [00010]

**ᾧ** [00004]
**ὧν** [00014]
**ὡς** [00015] [00019] [00020] [00026] [00029] [00030] [00031] [00031] [00031] [00037] [00037] [00041] [00042] [00042] [00045] [00046] [00047]
**Ὡς** [00005]
**Ὡσαύτως** [00029]
**Ὥσπερ** [00043]